www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΠΕΝΤΕ ΕΝΔΟΞΟΥΣ ΝΕΟΜΑΡΤΥΡΑΣ, ΤΗΣ ΣΑΜΟΘΡΑΚΗΣ

(ὧν ἡ μνήμη τῇ Κυριακῇ τοῦ Θωμᾶ)



www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΠΕΝΤΕ ΕΝΔΟΞΟΥΣ ΝΕΟΜΑΡΤΥΡΑΣ, ΤΗΣ ΣΑΜΟΘΡΑΚΗΣ

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ

www.tezaurliturgic.ro



ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου· Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ' Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.*

Τῇ τοῦ Κυρίου πυρωθέντες ἀγάπῃ,
ἐμυκτηρίσατε τῆς Ἄγαρ τὴν πλάνην,
συμμέτοχοι γενόμενοι τῶν πάλαι Ἀθλητῶν·
ὅθεν ἀνεδείχθητε Σαμοθράκης προστάται,
Πέντε Νεομάρτυρες,

www.tezaurliturgic.ro



ἐν τῇ Μάκρῃ τυθέντες,
καὶ χορηγεῖτε πᾶσι τοῖς πιστῶς,
ἐξαιτουμένοις,
αἰτήσεων πλήρωσιν.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου

www.tezaurliturgic.ro



ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν

www.tezaurliturgic.ro



συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:*
***«Σκέπετε πιστούς, Πεντὰς Νεομαρτύρων. Ἀ(θανάσιος)».***

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Σαμόθρακες ὄντες γένος φθαρτόν,
υἱοὶ Ἐκκλησίας,
ἀνεδείχθητε ἀθληταί,
πιστῶν ἐκδεχόμενοι αἰτήσεις,
καὶ ἐκπληροῦντες αὐτὰς ὡς φιλάδελφοι.

Κλαπέντες τὴν Πίστιν τὴν ἀληθῆ,
βιαίῳ τῷ τρόπῳ,
ἀπεπτύσατε θαυμαστῶς,
τῆς Ἄγαρ τὴν πλάνην ἀθλοφόροι,
ὑπὲρ Χριστοῦ μαρτυρήσαντες σύμπεντε.

Ἐν σκότει βαδίζοντες μεριμνῶν,
τὸ φῶς ἐκζητοῦμεν,

www.tezaurliturgic.ro



τὸ λαμπρότατον τοῦ Χριστοῦ,
ὃ δότε ἡμῖν, Μάρτυρες θεῖοι,
ὅπως εὐθέως τὰς τρίβους ποιώμεθα.

*Θεοτοκίον*

Παρθένε, τεκοῦσα Λόγον Θεοῦ,
πολλὴν παῤῥησίαν,
νῦν δικαίως Αὐτῷ πλουτεῖς,
διὸ ὡς φιλάνθρωπον δυσώπει,
δοῦναι ἡμῖν τῶν σφαλμάτων διόρθωσιν.

*Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Ἐν νυκτὶ καὶ ἡμέρᾳ,
τὰ ζοφερὰ κύματα,
τὴν ζωὴν ἡμῶν καταντλοῦσιν,
Ἅγιοι Μάρτυρες,
ὅθεν δεόμεθα,
εὐχαῖς ὑμῶν πρὸς Δεσπότην,
τὴν γαλήνην δίδοσθε,
τοῦ θείου Πνεύματος.

Τυραννία μεγίστη,
ἡ τῶν παθῶν κράτησις,
ἐξ ὧν, Νεομάρτυρες Πέντε,

www.tezaurliturgic.ro



ἡμᾶς λυτρώσασθε,
ὥσπερ τὸν τύραννον,
τῆς ἀσεβείας συμφώνως,
καθομολογήσαντες,
κατενικήσατε.

Εἰληφότες τὴν χάριν,
παρὰ Χριστοῦ, Ἅγιοι,
νόσους ἐκδιώκειν καὶ πάθη,
ψυχῆς καὶ σώματος,
ταχὺ ἰάσασθε,
σωματικὰς ἀλγηδόνας,
καὶ ψυχῶν ἀχθήματα,
ἡμῶν δυσίατα.

*Θεοτοκίον*

Ποίοις λόγοις, Παρθένε,
τὴν πρὸς ἡμᾶς χάριν σου,
ἐκδιηγηθῆναι ἀξίως,
ἂν δυνηθείημεν;
πᾶσαν γὰρ νόησιν,
καὶ λογισμὸν τῶν ἀνθρώπων,
ὑπερβαίνει, Δέσποινα,
τὸ σὸν μυστήριον.

www.tezaurliturgic.ro



Διάσωσον, Πεντὰς Ἁγίων τῆς Σαμοθράκης,
ἐκ παντοίων κινδύνων τοὺς σοὶ προσπίπτοντας,
καὶ δὸς εἰρήνην ταῖς ψυχαῖς,
τὸν Χριστὸν δυσωποῦσα.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Τὴν Νῆσον ὑμῶν,
φυλάττετε, Πεντάριθμοι,
καὶ πᾶσι πιστοῖς,
ἐν βίῳ συμπαρίστασθε,
πειρασμῶν τὰ νέφη ἀποδιώκοντες τάχιστα,
καὶ τὴν εἰρήνην τοῦ Χριστοῦ,
ψυχαῖς καταβραβεύοντες.

*Ὠδὴ δ' Εἰσακήκοα, Κύριε.*

Ἱερεῖα χριστόθυτα,
ὤφθητε ἐν Μάκρῃ καλῶς ἀθλήσαντες,
καὶ παρέχετε ἰάματα,
τοῖς ἐξαιτουμένοις ὑμῶν δέησιν.

www.tezaurliturgic.ro



Σαμοθράκης γεννήματα,
καὶ τῆς Ἐκκλησίας τερπνὰ καυχήματα,
Νεομάρτυρες, ἐδείχθητε,
καὶ πιστῶν ἁπάντων καταφύγια.

Τῷ πυρὶ θείου ἔρωτος,
σύμπεντε φλεγόμενοι, Νεομάρτυρες,
τὸν ἐχθρὸν κατεπατήσατε,
πρέσβεις χριστωνύμων χρηματίζοντες.

*Θεοτοκίον*

Ὁ καρπὸς τῆς κοιλίας σου,
γέγονε τοῦ κόσμου ζωὴ ἡ ἄφθαρτος,
καὶ Μαρτύρων θεῖον γλύκασμα,
δι᾽ Οὗ τοῦ ἐχθροῦ πικρίας ἔλυσαν.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὑπὲρ τῆς ὑμῶν,
γενεθλίου Νήσου, Μάρτυρες,
καθικετεύσατε Χριστὸν τὸν Ἰησοῦν,
δι᾽ Ὃν προθύμως, τῷ θανάτῳ παρεδόθητε.

Στύλοι ἀκλινεῖς,
Ἐκκλησίας ἀνεδείχθητε,

www.tezaurliturgic.ro



καὶ πρὸς Χριστὸν πρέσβεις εὐπρόσδεκτοι,
τῶν πιστευόντων, πρὸς Αὐτὸν αἰτήσεις ἄγοντες.

Πέπτωκεν ἐχθροῦ,
τὸ γαυρίαμα, Μακάριοι,
ὅτε θανάτῳ παρεδόθητε πικρῷ,
διὸ τὰ τούτου, καθ' ἡμῶν βέλη ἀπώσασθε.

*Θεοτοκίον*

Ἔχοντες ἀεί,
πρὸς Θεόν σε μεσιτεύουσαν,
ὥσπερ Μητρί σοι καταφεύγομεν πιστοί,
καὶ ἐκζητοῦμεν, Παναμώμητε, πρεσβείαν σου.

*Ὠδὴ ς'. Τὴν δέησιν.*

Νικήσαντες,
τὸν ὑμᾶς νικήσαντα,
κατεστέφθητε στεφάνῳ τῆς νίκης,
καὶ ἀδελφῶν,
ἐστηρίξατε πίστιν,
τῶν κατιδόντων σεπτὴν ὑμῶν ἄθλησιν,
ἡμᾶς δὲ ὑπὸ πειρασμῶν,
κυκλουμένους ταχέως λυτρώσασθε.

www.tezaurliturgic.ro



Τὴν ἴασιν,
τῆς ψυχῆς καὶ σώματος,
ἐκζητοῦμεν, Νεομάρτυρες θεῖοι,
θήκην ὑμῶν,
ἀσπαζόμενοι πόθῳ,
τὴν περιέχουσαν λείψανα τίμια,
καὶ γὰρ ἡ χάρις ἐπ' αὐτά,
ἀνεκφοίτητος μένει ἀείποτε.

Ἀνύστακτοι,
ἐποφθέντες φύλακες,
τῶν ὑμᾶς τιμώντων, Ἅγιοι Πέντε,
ὡς ποταμοί,
εὐλογίας Κυρίου,
πᾶσι παρέχετε θείαν ἀνάψυξιν,
ἐκ τῶν τοῦ βίου θλιβερῶν,
καὶ ἐχθροῦ τῆς κακίας, πανεύφημοι.

*Θεοτοκίον*

Συστέλλομαι,
Παναγία Δέσποινα,
ἐκ τοῦ πλήθους τῶν πολλῶν μου πταισμάτων,
παρὰ Χριστοῦ,
ἐκζητῆσαι τὴν λύσιν,
ἁμαρτημάτων δι' ὧν κατελύπησα,

www.tezaurliturgic.ro



Αὐτόν, διό σε, Ἀγαθή,
πάλιν πρέσβιν μου θείαν προβάλλομαι.

Διάσωσον, Πεντὰς Ἁγίων τῆς Σαμοθράκης,
ἐκ παντοίων κινδύνων τοὺς σοὶ προσπίπτοντας,
καὶ δὸς εἰρήνην ταῖς ψυχαῖς,
τὸν Χριστὸν δυσωποῦσα.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Τοὺς γενναίους Χριστοῦ Νεομάρτυρας,
Σαμοθράκης τὰ θεῖα βλαστήματα,
καὶ τῆς Μάκρης,
τοὺς πολιούχους ὕμνοις ἱεροῖς,
ὁμοῦ ἅπαντες πιστοί,
ἐκ καρδίας καθαρᾶς,
συντιμήσωμεν λέγοντες·
Ἅγιοι, τὰς αἰτήσεις,
τῶν ἐπικαλουμένων,
Χριστῷ προσάγετε ἀεί,
ἵνα δῷ ἡμῖν τὸ ἔλεος.

www.tezaurliturgic.ro



*Προκείμενον.* Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

*Στίχ.* Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Λουκᾶν (κα' 12-19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα.*

Ταῖς τῶν Ἀθλοφόρων, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro



*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Στίχ. Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Μιχαὴλ μακάριε,
σὺν τοῖς δυσὶ Γεωργίοις,
Μανουήλ, Θεόδωρε,
Σαμοθράκης ἔνδοξοι Νεομάρτυρες,
μηδαμῶς παύσητε,
χεῖρας ὑμῶν αἴρειν,
πρὸς Δεσπότην τὸν Φιλάνθρωπον,
ὅπως τὴν ἴασιν,
δῷ ἡμῶν ψυχῆς τε καὶ σώματος,
καὶ πάσης τοῦ ἀλάστορος,
προσβολῆς φυλάττῃ ὡς εὔσπλαγχνος,
τοὺς ὑμᾶς τιμῶντας,
καὶ θήκῃ τῶν λειψάνων εὐλαβῶς,
προσερχομένους ἑκάστοτε,
ὡς κρουνοῖς τῆς Χάριτος.

www.tezaurliturgic.ro



*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Νοῦν Χριστοῦ ἔνθες μάρτυς,
Μιχαήλ, τοῖς τιμῶσιν σὴν θείαν ἄθλησιν,
ὅπως τοῦ παγκακίστου,
ἐκφύγωμεν παγίδας,
καὶ Κυρίῳ συζήσωμεν,
ἅμα Ἁγίων χοροῖς,
εἰς πάντας τοὺς αἰῶνας.

Εἰς οὐδὲν ἐλογίσω,
φαινομένων ἀπόλαυσιν, ὦ Θεόδωρε,
ἔχων ἐν τῇ ψυχῇ σου,
ἀγάπην τοῦ Δεσπότου, ,
ἣν τοῖς πόθῳ τιμῶσί σε,
ἔνθες ὡς δῶρον τερπνόν,
καὶ μένον εἰς αἰῶνας.

Οὐρανοῦ ποθητήν σε,
ὦ Γεώργιε μάρτυς, σὲ μακαρίζομεν,
καὶ ἐκ ψυχῆς αἰτοῦμεν,
Σιὼν τῆς ἄνω δεῖξον,
ποθητὰς ἡμᾶς ἅπαντας,
ἔνθα γλυκέος Χριστοῦ,
τὸ Πρόσωπον ὁρῶμεν.

www.tezaurliturgic.ro



*Θεοτοκίον*

Μακαρία σου ὄντως!
ἡ κοιλία ἐδείχθη, Θεομακάριστε,
κυήσασα ὡς βρέφος,
Δημιουργὸν τοῦ κόσμου,
Ὃς τοὺς σὲ μακαρίζοντας,
ὡς φιλομήτωρ Υἱός,
δοξάζει εἰς αἰῶνας.

*ᾨδὴ η'. Τὸν βασιλέα.*

Ἁμαρτημάτων,
τὴν συγχώρησιν αἴτει,
νεομάρτυς Γεώργιε, τῶν ὕμνοις,
καταγεραιρόντων, γενναίαν ἄθλησίν σου.

Ῥῦσαι κινδύνων,
Μανουὴλ θεοφόρε,
πάντας ὅσοι πρεσβείαν σου αἰτοῦσιν,
παρὰ τοῦ Δεσπότου, δι' Ὃν ἥλοις ἡλώθης.

Τῆς ἀληθείας,
τοῦ Χριστοῦ γεγονότες,
Νεομάρτυρες, κήρυκες ἐν πράξει,
ἐν αὐτῇ βιῶσαι, ἡμᾶς καταξιοῦτε.

www.tezaurliturgic.ro



*Θεοτοκίον*

Ὑπὲρ Υἱοῦ σου,
Νεομάρτυρες πέντε,
Παναμώμητε, ἤθλησαν γενναίως,
μεθ᾽ ὧν τὸν Δεσπότην, ἀεὶ ἐξιλεοῦσθε.

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

Ῥήματα ψυχοφθόρα,
ἀθληταὶ ἐν Μάκρῃ,
τῶν διωκτῶν ἀνδρικῶς βδελυξάμενοι,
νῦν Παραδείσῳ τρυφᾶτε,
θείων ἐλλάμψεων.

Ὤ! πλούτου ἀτιμήτου,
οὗ ἡ Σαμοθράκη,
πλουτεῖ κατέχουσα λείψανα τίμια,
Νεομαρτύρων γενναίων,
οὕς περ ἐβλάστησε.

Νεώσατε καρδίας,
τῶν ὑμᾶς τιμώντων,
ὦ Νεομάρτυρες Θράκης καυχήματα,
καὶ σωτηρίαν δωρεῖσθε,
ψυχῶν αἰώνιον.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε,
τῶν Νεομαρτύρων,
ἡ κραταιὰ ἐν τοῖς ἄθλοις βοήθεια,
ἡμῖν βοήθει ἀπαύστως,
τοῖς σὲ δοξάζουσιν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*
*τὸ παρὸν (†) Γέροντος Γερασίμου*

Οἱ τῆς Σαμοθράκης κλεινοὶ βλαστοί,
Γεώργιος ἅμα, καὶ Θεόδωρος, Μανουήλ,
Μιχαὴλ σὺν τούτοις, Γεώργιος ὁ ἄλλος,
οἱ πολιοῦχοι Μάκρης,
ἀνευφημείσθωσαν.

www.tezaurliturgic.ro



*ἕτερα νεοσύνθετα*

Χαίρει Σαμοθράκης γῆ εὐκλεής,
καὶ ἡ Μάκρης χώρα,
ἐν τῇ μνήμῃ τῶν ἀθλητῶν,
οἵτινες συμφώνως,
πατήσαντες τῆς Ἄγαρ,
τὴν πλάνην θαρσαλέως,
Χριστὸν ἐδόξασαν.

Χαῖρε Γεωργίων δυὰς κλεινή,
Μανουὴλ θεόφρον,
Μιχαήλ τε γέρον σεμνέ,
ἅμα Θεοδώρῳ,
οἱ Πέντε Σαμοθράκης,
φύλακες καὶ προστάται,
ἐκ πάσης θλίψεως.

Τοὺς ἀσπαζομένους πανευλαβῶς,
θήκην τῶν λειψάνων,
Νεομάρτυρες τοῦ Χριστοῦ,
νόσων καὶ κινδύνων,
φυλάττετε ἀτρώτους,
τοὺς πειρασμοὺς ἐκ τούτων,
ἀποδιώκοντες.

www.tezaurliturgic.ro



Τέκνα Σαμοθράκης χριστοστεφῆ,
ἄθλοις θαυμασίοις,
ἡγιάσατε Μάκρης γῆν,
τῶν πιστῶν ἁπάντων,
γενόμενοι προστάται,
διδάσκοντες Κυρίου,
ἀγάπην ἔνθεον.

Ἀλεξανδρουπόλεως ἱεράν,
Μητρόπολιν Πέντε,
Νεομάρτυρες θαυμαστοί,
θείαις ἱκεσίαις,
σκέπετε εὐλογοῦντες,
ποίμνιον καὶ Ποιμένα,
ὑμᾶς δοξάζοντας.

Πνεύματος τὴν χάριν δότε ἡμῖν,
τὴν ἀνεκφοιτήτως,
ἐν λειψάνοις ὑμῶν σεπτοῖς,
Μάρτυρες, σκηνοῦσαν,
ὡς Παλαμᾶς διδάσκει,
καὶ θείας Βασιλείας,
μετόχους δείξατε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,

www.tezaurliturgic.ro



Ἀποστόλων ἡ δωδεκάς,
οἱ ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον.*
*Παναγία Τριάς.*
*Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν, κλπ.*

*Εἰς δὲ τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρόν προσόμοιον.*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πέντε Νεομάρτυρας Χριστοῦ,
νήσου Σαμοθράκης τοὺς γόνους,
καὶ Μάκρης τοὺς πρεσβευτάς,
ὕμνοις μεγαλύνοντες,
καθικετεύσωμεν·
ἐκ κινδύνων καὶ θλίψεων,
ἐξέλεσθε τάχει,
τοὺς ὑμῖν προστρέχοντας
καὶ αἰτουμένους θερμῶς,
πάσης ἀσθενείας τὴν λύσιν,
καὶ ἀφανισμὸν προβλημάτων,
ἀθληταὶ Χριστοῦ θεοστεφάνωτοι.

www.tezaurliturgic.ro



Δέσποινα, πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι' εὐχῶν.*